Sic vrbs ſimul plena eſt vaporibus ſacris,
Reſonátque cantibus piis ac luctibus.

Hoc idem de vrbe quoque maiore, de hoc inquam mundo, exiſtimare debemus. Deus enim nobis lex eſt: in omnem illa quidem partem ad æquilibrium vergens: nullam correctionem admittens, nullam varietatem, quippe quæ potior ſit illis legibus, & ſtabilior, quæ in tabulis perſcriptæ ſunt. Eius enim auſpiciis perenniter & compoſitè præeuntis, vniuerſus hic cæli ordo regitur atque adminiſtratur, numeros omnes concinnitatis habens: in omneis ipſe naturas partitus pro vniuerſitate ſeminum, in ea quæ hærent ſolo, atque in animantia: quæ etiam ſuis ipſa generibus formíſque diſtincta ſunt. *Nam & vites fiunt & palmæ, & perſeæ, ficique dulces, & oliuæ:* vt inquit Poëta: Tum quæ fructus expertes, alios vſus præſtant, platani, pinus, buxi, alni, populus etiam nigra & cupreſſus odorata: Tum quæ autumni tempore fructum ſuauem fundunt, ſed conditu difficilem, pyri, punicæ, mali. At verò animantium aliæ feræ ſunt, & aliæ cicures: tum in aëre, tum humi, tum in aqua victitantes, oriuntúrque & inualeſcunt & deinde intereunt, legibus obtemperantes diuinis atque cedétes. Omne enim reptile (vt inquit Heraclitus) terram depaſcitur atque poſſidet.

CAPVT VII.

VNus porrò Deus cùm ſit, pluribus nominibus appellatus eſt: ab iis vtique ſuis omnibus affectibus denominatus, quorum ſpecimen edere ipſe ſolet. Atque eum quidem tum Zena, tum Dia vocant, inter ſe compoſitis vtentes nominibus, atque è regione collocatis, tanquam duabus his vocibus ſignificare velint, per quẽ viuimus. Is Crono, id eſt Saturno, & chrono, id eſt tempore ortus eſſe dicitur, nimirum ab æuo ſempiterno ad alterum æuũ pertinens. Vocatur & Fulgurator, & Altitonans, & Ætherius, & Fulminator, & Pluuius: à pluuiis vtique & fulminibus, aliíſque operibus, è quibus vocabula ipſa deducta ſunt. Quin & Frugipotens & cuſtos vrbium vocitatur, & Natalitius, Septitius, Cortalis, Gentilitius & Patrius: videlicet à communione quæ diuino ipſi numini iis cum rebus intercedit. Ad hæc Sodalitius & amicitiæ præſes, tum Hoſpitalis, Caſtrenſis, Trophæalis, Expiator, Sanguinarius, & ſupplex & placabilis, vt poëtæ loquuntur: denique Seruator dicitur & Aſſertor: & vt ſemel omnia complectar, Cæleſtis & terrenus: ab omni natura ſortéque nomen adeptus, vtpote qui omnium rerum author ſit. Quapropter quæ de ipſo in Orphicis

A Πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει,
Ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων·

οὕτως ὑποληπτέον καὶ ἐπὶ τῆς μείζονος πόλεως, λέγω δὴ τοῦδε τοῦ κόσμου· νόμος μὲν γὰρ ἡμῖν ἰσοκλινὴς, ὁ θεὸς, οὐδεμίαν ὑποδεχόμενος διόρθωσιν, ἢ μετάθεσιν· κρείττων δὲ, οἶμαι, καὶ βεβαιότερος τῶν ἐν κύρβεσιν ἀναγεγραμμένων. ἡγουμένου δὴ ἀκινήτως αὐτοῦ καὶ ἐμμελῶς, ὁ σύμπας διοικονομεῖται διά-
B κοσμος οὐρανοῦ καὶ γῆς, μεμερισμένος κατὰ τὰς φύσεις πάσας διὰ τῶν οἰκείων σπερμάτων, εἴς τε τὰ φυτὰ καὶ ζῶα, κατὰ γένη τε καὶ εἴδη· καὶ γὰρ ἄμπελοι, καὶ φοίνικες, καὶ περσέαι, συκέαι τε γλυκεραὶ, καὶ ἐλαῖαι, ὥς φησιν ὁ ποιητὴς, τά τε ἄκαρπα μὲν, ἄλλας δὲ παρεχόμενα χρείας, πλάτανοι, καὶ πίτυες, καὶ πύξοι.

Κλήθρη τ', αἴγειρός τε, καὶ εὐώδης κυπά-
C ρισσος. αἵ τε καρπὸν ὀπώρης ἡδὺν, ἄλλος δὲ δυσθησαύριστον φέρουσαι,
Ὄχναι, καὶ ῥοιαὶ, καὶ μηλέαι ἀγλαόκαρποι·

τῶν τε ζώων τά τε ἄγρια καὶ ἥμερα, τά τε ἐν ἀέρι καὶ ἐπὶ γῆς καὶ ἐν ὕδατι βοσκόμενα γίνεται, καὶ ἀκμάζει, καὶ φθείρεται, τοῖς τοῦ θεοῦ πειθόμενα θεσμοῖς· πᾶν γὰρ ἑρπετὸν, τὴν γῆν νέμεται, ὥς φησιν Ἡράκλειτος.

Κεφάλαιον ζ.

D Εἷς δὲ ὢν, πολυώνυμός ἐστι, κατονομαζόμενος τοῖς πάθεσι πᾶσιν, ἅπερ αὐτὸς νεοχμεῖ. καλοῦσι δὲ αὐτὸν καὶ Ζῆνα καὶ Δία, παραλλήλως χρώμενοι τοῖς ὀνόμασιν, ὡς κἂν εἰ λέγοιμεν, δι' ὃν ζῶμεν. Κρόνου δὲ καὶ χρόνου λέγεται, διήκων ἐξ αἰῶνος ἀτέρμονος εἰς ἕτερον αἰῶνα· ἀστραπαῖός τε καὶ βρονταῖος, καὶ αἴθριος καὶ αἰθέριος, κεραύνιός τε
E καὶ ὑέτιος, ἀπὸ τῶν ὑετῶν καὶ κεραυνῶν, καὶ τῶν ἄλλων καλεῖται· καὶ μὴν ἐπικάρπιος μὲν, ἀπὸ τῶν καρπῶν πολιεὺς δὲ, ἀπὸ τῶν πόλεων ὀνομάζεται· γενέθλιός τε καὶ ἕρκειος, καὶ ὁμόγνιος, καὶ πατρῷος, ἀπὸ τῆς πρὸς ταῦτα κοινωνίας. ἑταιρεῖός τε καὶ φίλιος, καὶ ξένιος, καὶ στράτιος, καὶ τροπαιοῦχος, καθάρσιός τε, καὶ παλαμναῖος, καὶ ἱκέσιος, καὶ μειλίχιος, ὥσπερ οἱ ποιηταὶ λέγουσι· σωτήρ τε καὶ ἐλευθέ-
F ριος ἐτύμως· ὡς δὲ τὸ πᾶν εἰπεῖν, οὐράνιός τε καὶ χθόνιος, πάσης ἐπώνυμος ὢν φύσεώς τε καὶ τύχης, ἅτε πάντων αὐτὸς αἴτιος ὤν· διὸ καὶ ἐν